# ΛΟΥΚΙΑΝΟΥ

## ΣΑΜΟΣΑΤΕΩΣ

### Πατρίδος Ἐγκώμιον.

Ὅτι μὲν οὐδὲν γλύκιον τῆς Πατρίδος φθάνει, προτεθρυλλημένον. ἆρ' οὖν ἥδιον μὲν οὐδὲν, σεμνότερον δέ τι, καὶ θειότερον ἄλλο; καὶ μὴν ὅσα σεμνὰ καὶ θεῖα νομίζουσιν ἄνθρωποι, τούτων Πατρὶς αἰτία, καὶ Διδάσκαλος, γεννησαμένη, καὶ ἀναθρεψαμένη, καὶ παιδεύσασα. Πόλεων μὲν οὖν μεγέθη, καὶ λαμπρότητας, καὶ πολυτελείας κατασκευῶν θαυμάζουσι πολλοί, Πατρίδας δὲ στέργουσι πάντες. καὶ τοσοῦτον οὐδεὶς ἐξηπατήθη τῶν καὶ πάνυ κεκρατημένων ὑπὸ τῆς κατὰ τὴν θέαν ἡδονῆς, ὡς ὑπὸ τῆς ὑπερβολῆς τῶν παρ' ἄλλοις θαυμάτων, λήθην ποιήσασθαι τῆς Πατρίδος. Ὅστις μὲν οὖν σεμνύνεται πολίτης ὢν εὐδαίμονος πόλεως, ἀγνοεῖν μοι δοκεῖ, τίνα χρὴ τιμὴν ἀπονέμειν τῇ Πατρίδι. καὶ ὁ τοιοῦτος δῆλός ἐστιν ἀχθόμενος ἂν, εἰ μετριωτέρας ἔλαχε τῆς Πατρίδος. Ἐμοὶ δὲ ἥδιον, αὐτὸ τιμᾶν τὸ τῆς Πατρίδος ὄνομα. πόλεις μὲν γὰρ παραβαλεῖν πειρωμένῳ προσήκει, μέγεθος ἐξετάζειν καὶ κάλλος, καὶ τὴν τῶν ὠνίων ἀφθονίαν. ὅπου δ' αἵρεσίς ἐστι πόλεων, οὐδεὶς ἂν ἕλοιτο τὴν λαμπροτέραν, ἐάσας τὴν Πατρίδα, ἀλλ' εὔξαιτο μὲν ἂν εἶναι καὶ τὴν Πατρίδα ταῖς εὐδαίμοσι παραπλησίαν, ἕλοιτο δ' ἂν τὴν ὁποιανοῦν. Τὸ δ' αὐτὸ τοῦτο καὶ οἱ δίκαιοι τῶν παίδων πράττουσι, καὶ οἱ χρηστοὶ τῶν Πατέρων. οὔτε γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006 Εξ Δ. τής Κ.τ.Π.

γὰρ νέος καλὸς κἀγαθὸς ἄλλον ἂν προτιμήσαι τῆς Πατρίδος, ὥστε πατὴρ καταμελήσας τοῦ παιδὸς, ἕτερον ἂν στέρξαι νέον. ἀλλὰ τοσοῦτόν γε οἱ πατέρες νικώμενοι, προστιμῶσι τοῖς παισὶν, ὥστε καὶ κάλλιστοι καὶ μέγιστοι, καὶ τοῖς πᾶσιν ἄριστα φαίνονται κεκοσμημένοι οἱ παῖδες αὐτοῖς. ὅστις δὲ μὴ τοιοῦτός ἐστι δικαστὴς πρὸς τὸν υἱὸν, οὐ δοκεῖ μοι πατρὸς ὀφθαλμοὺς ἔχειν. Πατρίδος τοίνυν τὸ ὄνομα καὶ πρῶτον καὶ οἰκειότατον πάντων. οὐδὲν γὰρ, ὅ,τι τοῦ πατρὸς οἰκειότερον. εἰ δέ τις ἀπονέμει τῷ πατρὶ τὴν δικαίαν τιμὴν, ὥσπερ καὶ ὁ νόμος καὶ ἡ φύσις κελεύει, προσηκόντως ἂν τὴν Πατρίδα προτιμήσαι. καὶ γὰρ ὁ πατὴρ αὐτὸς, τῆς Πατρίδος κτῆμα, καὶ ὁ τοῦ πατρὸς πατὴρ, καὶ οἱ ἐκ τῶν ἄνω οἰκεῖοι πάντες ἀνωτέρω. καὶ μέχρι θεῶν πατρῴων πρόεισιν ἀναβιβαζόμενον τὸ ὄνομα. Χαίρουσι καὶ θεοὶ πατρίσι, καὶ πάντα μὲν, ὡς εἰκὸς, ἐφορῶσι τὰ τῶν ἀνθρώπων, αὐτῶν ἡγούμενοι κτήματα, πᾶσαν γῆν καὶ θάλασσαν. ἐφ' ἧς δὲ ἕκαστος αὐτῶν ἐγένετο, προτιμᾷ τῶν ἄλλων ἁπασῶν πόλεων. Καὶ πόλεις σεμνότεραι, θεῶν πατρίδες. καὶ νῆσοι θειότεραι, παρ' αἷς ὑμνεῖται γένεσις θεῶν. ἱερὰ γοῦν κεχαρισμένα ταῦτα νομίζεται τοῖς θεοῖς, ἐπειδὰν εἰς τοὺς οἰκείους ἕκαστος ἀφικόμενος ἱερουργῇ τόπους. εἰ δὲ θεοῖς τίμιον τὸ τῆς Πατρίδος ὄνομα, πῶς οὐκ ἀνθρώποις πολύ γε μᾶλλον; καὶ γὰρ εἶδε τὸν ἥλιον πρῶτον ἕκαστον ἀπὸ τῆς Πατρίδος, ὡς καὶ τοῦτον τὸν θεὸν, εἰ καὶ κοινός ἐστιν, ἀλλ' οὖν ἑκάστῳ νομίζεσθαι πατρῷον, διὰ τὴν πρώτην ἀπὸ τοῦ τόπου θέαν. καὶ φωνῆς ἐνταῦθα ἤρξατο, ἐπιχώρια πρῶτα λαλεῖν μανθάνων, καὶ θεοὺς ἐγνώρισεν. Εἰ δέ τις τοιαύτης ἔλαχε Πατρίδος, ὡς ἑτέρας δεηθῆναι πρὸς τὴν τῶν μειζόνων παιδείαν, ἀλλ' οὖν ἐχέτω καὶ τούτων τῶν παιδευμάτων τῇ Πατρίδι τὴν χάριν. οὐ γὰρ ἂν ἐγνώρισεν οὐδὲ πόλεως ὄνομα, μὴ διὰ τῆς Πατρίδος πόλιν εἶναι μαθών. Πάντα δὲ, οἶμαι, παιδεύ-

μα-

ματα καὶ μαθήματα συλλέγουσιν ἄνθρωποι, χρησιμωτέρους αὐτοὺς ἀπὸ τούτων ταῖς Πατρίσι παρασκευάζοντες. κτῶνται δὲ καὶ χρήματα, φιλοτιμίας οὕνεκεν τῆς εἰς τὰ κοινὰ τῆς Πατρίδος δαπανήμασι, καὶ εἰκότως, οἶμαι. δεῖ γὰρ οὐκ ἀχαρίστους εἶναι τοὺς τῶν μεγίστων τυχόντας εὐεργεσιῶν. ἀλλ' εἰ καὶ τοῖς καθ' ἕνα τις ἀπονέμοι χάριν, ὥσπερ οὖν δίκαιον, ἐπειδὰν εὖ πάθῃ πρός τινος, πολὺ μᾶλλον προσήκει τὴν Πατρίδα τοῖς καθήκουσιν ἀμείβεσθαι. Κακώσεως μὲν γὰρ γονέων εἰσὶ νόμοι παρὰ ταῖς πόλεσι. κοινὴν δὲ προσήκει πάντων μητέρα τὴν Πατρίδα νομίζειν, καὶ χαριστήρια τροφῶν ἀποδιδόναι καὶ τῆς τῶν νόμων αὐτῶν γνώσεως. Ὤφθη δὲ οὐδεὶς οὕτως ἀμνήμων τῆς Πατρίδος, ὡς ἐν ἄλλῃ πόλει γενόμενος ἀμελεῖν. ἀλλ' οἵ τε κακοπραγοῦντες ἐν ταῖς ἀποδημίαις, συνεχῶς ἀνακαλοῦσιν, ὡς μέγιστον τῶν ἀγαθῶν ἡ Πατρίς. οἵ τε εὐδαιμονοῦντες, ἂν καὶ τὰ ἄλλα εὖ πράττωσι, τοῦτο γοῦν αὐτοῖς μέγιστον ἐνδεῖν νομίζουσι, τὸ μὴ τὴν Πατρίδα οἰκεῖν, ἀλλὰ ξενιτεύειν. ὄνειδος γὰρ τὸ τῆς ξενιτείας, καὶ τοὺς κατὰ τὸν τῆς ἀποδημίας χρόνον λαμπροὺς γενομένους, ἢ διὰ χρημάτων κτῆσιν, ἢ διὰ τιμῆς δόξαν, ἢ διὰ παιδείας μαρτυρίαν, ἢ δι' ἀνδρείας ἔπαινον, ἔστιν ἰδεῖν ἐς τὴν Πατρίδα πάντας ἐπειγομένους, ὡς οὐκ ἂν ἐν ἄλλοις βελτίοσιν ἐπιδειξομένους τὰ αὐτῶν καλά. καὶ τοσούτῳ γε μᾶλλον ἕκαστος σπουδάζει λαβέσθαι τῆς Πατρίδος, ὅσῳ περ ἂν φαίνηται μειζόνων παρ' ἄλλοις ἠξιωμένος. Ποθεινὴ μὲν οὖν καὶ νέοις Πατρίς, τοῖς δὲ ἤδη γεγηρακόσιν ὅσῳ πλέον τοῦ φρονεῖν, ἢ τοῖς νέοις μέτεστι, τοσούτῳ καὶ πλείων ἐγγίνεται πόθος ὁ τῆς Πατρίδος. ἕκαστος γοῦν τῶν γεγηρακότων καὶ σπουδάζει, καὶ εὔχεται καταλῦσαι τὸν βίον ἐπὶ τῆς Πατρίδος, ἵν' ὅθεν ἤρξατο βιοῦν, ἐνταῦθα πάλιν καὶ τὸ σῶμα παρακαταθῆται τῇ θρεψαμένῃ γῇ, καὶ τῶν πατρῴων κοινωνήσῃ τάφων. δεινὸν γὰρ ἑκάστῳ δοκεῖ ξενίας

μάλιστα.

ἁλίσκεσθαι, καὶ μὴ θάνατον ἐν ἀλλοτρίᾳ κειμένῳ γῇ. Ὅσον δὲ τῆς εὐνοίας τῆς πρὸς τὰς Πατρίδας μέτεστι τοῖς ὡς ἀληθῶς γνησίοις πολίταις, μάθοι τις ἐκ τῶν αὐτοχθόνων. οἱ μὲν γὰρ ἐπήλυδες, καθάπερ νόθοι, ῥᾳδίας ποιοῦνται τὰς μεταναστάσεις, τὸ μὲν τῆς Πατρίδος ὄνομα μήτε εἰδότες, μήτε στέργοντες, ἡγούμενοι δ' ἁπανταχῇ τῶν ἐπιτηδείων εὐπορήσειν, μεῖζον εὐδαιμονίας, τὰς τῆς γαστρὸς ἡδονὰς τιθέμενοι. Οἷς δὲ καὶ μήτηρ ἡ Πατρίς, ἀγαπῶσι τὴν γῆν, ἐφ' ἧς ἐφύοντο, καὶ ἐτράφησαν, κἂν ὀλίγην ἔχωσι, κἂν τραχεῖαν καὶ λεπτόγεων, κἂν ἀπορῶσι τῆς γῆς ἐπαινέσαι τὴν ἀρετήν, τῶν γε ὑπὲρ τῆς Πατρίδος οὐκ ἀπορήσουσιν ἐγκωμίων. ἀλλὰ κἂν ἴδωσιν ἑτέρας σεμνυνομένας πεδίοις ἀνειμένοις, καὶ λειμῶσι φυτοῖς παντοδαποῖς διειλημμένοις, καὶ αὐτοὶ τῶν τῆς Πατρίδος ἐγκωμίων οὐκ ἐπιλανθάνονται. τὴν δὲ ἱππόβοτον ὑπερορῶντες, καὶ κουροτρόφον ἐπαινοῦσι. Καὶ σπεύδει τις ἐς τὴν Πατρίδα, κἂν νησιώτης ᾖ, κἂν παρ' ἄλλοις εὐδαιμονεῖν δύνηται· καὶ διδομένην ἀθανασίαν οὐ προσήσεται, προτιμῶν τὸν ἐπὶ τῆς Πατρίδος τάφον. καὶ ὁ τῆς Πατρίδος αὐτοῦ καπνὸς, λαμπρότερος ὀφθήσεται τοῦ παρ' ἄλλοις πυρός. Οὕτω δὲ ἄρα τίμιον εἶναι δοκεῖ παρὰ πᾶσιν ἡ Πατρίς, ὥστε καὶ τοὺς πανταχοῦ νομοθέτας ἴδοι τις ἂν, ἐπὶ τοῖς μεγίστοις ἀδικήμασιν, ὡς χαλεπωτάτην ἐπιβεβληκότας τὴν φυγὴν, τιμωρίαν. καὶ οὐχ οἱ νομοθέται μὲν οὕτως ἔχουσιν, οἱ δὲ τεταγμένοι τὰς στρατηγίας ἑτέρως, ἀλλ' ἐν ταῖς μάχαις τὸ μέγιστόν ἐστι τῶν παραγγελμάτων τοῖς παρατεταγμένοις, ὡς ὑπὲρ Πατρίδος αὐτοῖς ὁ πόλεμος, καὶ οὐδεὶς, ὅστις ἂν ἀκούσας τούτου, κακὸς εἶναι θέλῃ. ποιεῖ γὰρ τὸν δειλὸν, ἀνδρεῖον, τὸ τῆς Πατρίδος ὄνομα.

ΤΟΥ

ΙΩΑΝΝΙΝΑ 2006

# ΤΟΥ ΑΥΤΟΥ ΤΥΡΑΝΝΟΚΤΟΝΟΣ.

Ἀνῆλθέ τις εἰς τὴν ἀκρόπολιν, ὡς ἀποκτενῶν τὸν Τύραννον· καὶ αὐτὸν μὲν οὐχ εὗρε. τὸν δὲ υἱὸν αὐτοῦ ἀποκτείνας, κατέλιπε τὸ ξίφος ἐν τῷ σώματι. ἐλθὼν ὁ Τύραννος, καὶ τὸν υἱὸν ἰδὼν ἤδη νεκρὸν, τῷ αὐτῷ ξίφει ἑαυτὸν ἀπέκτεινεν. αἰτεῖ ὁ ἀνελθὼν, καὶ τὸν τοῦ τυράννου υἱὸν ἀνελὼν, γέρας, ὡς Τυραννοκτόνος.

Δύο Τυράννους ἀποκτείνας, ὦ ἄνδρες δικασταὶ, μιᾶς ἡμέρας, τὸν μὲν ἤδη παρηβηκότα, τὸν δὲ ἀκμάζοντα, καὶ πρὸς διαδοχὴν τῶν ἀδικημάτων ἑτοιμότερον, ἥκω μίαν ὅμως ἐπ' ἀμφοτέροις αἰτήσων δωρεὰν, μόνος τῶν πώποτε Τυραννοκτόνων πληγῇ μιᾷ δύο πονηροὺς ἀποσκευασάμενος καὶ φονεύσας, τὸν μὲν παῖδα τῷ ξίφει, τὸν πατέρα δὲ τῇ πρὸς τὸν υἱὸν φιλοστοργίᾳ. Ὁ μὲν οὖν Τύραννος, ἀνθ' ὧν ἐποίησεν, ἱκανὴν ἡμῖν δέδωκε τιμωρίαν, ζῶν μὲν τὸν υἱὸν ἐπιδὼν προανῃρημένον παρὰ τὴν τελευτήν. τελευταῖον δὲ ἠναγκασμένος, τὸ παραδοξότατον, αὐτὸς αὑτοῦ γενέσθαι Τυραννοκτόνος. ὁ παῖς δὲ ὁ ἐκείνου τέθνηκε μὲν ὑπ' ἐμοῦ, ὑπηρέτησε δέ μοι καὶ ἀποθανὼν πρὸς ἄλλον φόνον· ζῶντι μὲν συναδικῶν τῷ πατρὶ, μετὰ θάνατον δὲ πατροκτονήσας ὡς ἐδύνατο. τὴν μὲν οὖν τυραννίδα ὁ παύσας εἰμὶ ἐγὼ, καὶ τὸ ξίφος, ὃ πάντα εἰργάσατο, ἐμόν. τὴν δὲ τάξιν ἐνήλλαξα τῶν φόνων, καὶ τὸν τρόπον ἐκαινοτόμησα τῆς τῶν πονηρῶν τελευτῆς· τὸν μὲν ἰσχυρότερον, καὶ ἀμύνασθαι δυνάμενον, αὐτὸς ἀνελὼν, τὸν γέροντα δὲ μόνῳ παραχωρήσας τῷ ξίφει. Ἐγὼ μὲν οὖν καὶ περιττότερόν τι ἐπὶ τούτοις ᾤμην γενήσεσθαί μοι παρ' ὑμῶν, καὶ δωρεὰς λήψεσθαι ἰσαρίθμους τοῖς ἀνῃρημένοις, ὡς ἂν οὐ τῶν παρόντων ἀπαλλάξας ὑμᾶς μόνον, ἀλλὰ καὶ τῆς

τῶν

τῶν μελλόντων κακῶν ἐλπίδος, καὶ τὴν ἐλευθερίαν βέβαιον παρέχων, οὐδενὸς παραλελειμμένου κληρονόμου τῶν ἀδικημάτων· μεταξὺ δὲ κινδυνεύειν, τοσαῦτα κατορθώσας, ἀγέραστος ἀπελθεῖν παρ' ὑμῶν, καὶ μόνος στέρεσθαι τῆς παρὰ τῶν νόμων ἀμοιβῆς, ἧς διεφύλαξα. Ὁ μὲν οὖν ἀντιλέγων οὑτοσί, δοκεῖ μοι οὐ κηδόμενος, ὥς φησι, τῶν κοινῶν τοῦτο ποιεῖν, ἀλλ' ἐπὶ τοῖς τετελευτηκόσι λελυπημένος, καὶ ἀμυνόμενος τὸν ἐκείνοις τοῦ θανάτου αἴτιον γεγενημένον. ὑμεῖς δὲ ἀνάσχεσθέ μου, ὦ ἄνδρες δικασταί, πρὸς ὀλίγον, τὰ ἐν τῇ τυραννίδι, καίπερ εἰδόσιν ὑμῖν ἀκριβῶς διηγουμένου. καὶ γὰρ τὸ μέγεθος οὕτω μάθοιτ' ἂν τῆς εὐεργεσίας τῆς ἐμῆς, καὶ αὐτοὶ μᾶλλον εὐφρανεῖσθε, λογιζόμενοι ὧν ἀπηλλάγητε. οὐ γὰρ, ὥσπερ ἄλλοις τισὶν ἤδη συνέβη πολλάκις, ἁπλῆν καὶ ἡμεῖς τυραννίδα, καὶ μίαν δουλείαν ὑπεμείναμεν, οὐδ' ἑνὸς ὑπηνέγκαμεν ἐπιθυμίαν δεσπότου, ἀλλὰ μόνοι τῶν πώποτε τὰ ὅμοια δυστυχησάντων, δύω ἀνθ' ἑνὸς τυράννους εἴχομεν, καὶ πρὸς διττὰ οἱ δυστυχεῖς ἀδικήματα διῃρούμεθα. μετριώτερος δὲ ὁ πρεσβύτης ἦν παραπολὺ, καὶ πρὸς τὰς ὀργὰς ἠπιώτερος, καὶ πρὸς τὰς κολάσεις ἀμβλύτερος, καὶ πρὸς τὰς ἐπιθυμίας βραδύτερος, ὡς ἂν ἤδη τῆς ἡλικίας τὸ μὲν σφοδρότερον τῆς ὁρμῆς ἐπεχούσης, τὰς δὲ τῶν ἡδονῶν ὀρέξεις χαλιναγωγούσης. καὶ πρός γε τὴν ἀρχὴν τῶν ἀδικημάτων ὑπὸ τοῦ παιδὸς ἄκων προσῆχθαι ἐλέγετο, οὐ πάνυ τυραννικὸς αὐτὸς ὤν, ἀλλ' εἴκων ἐκείνῳ· φιλότεκνος γὰρ ἐς ὑπερβολὴν ἐγένετο, ὡς ἔδειξε. καὶ πάντα ὁ παῖς ἦν αὐτῷ, κἀκείνῳ ἐπείθετο, καὶ ἠδίκει ὅσα κελεύοι, καὶ ἐκόλαζεν οὓς προστάττοι, καὶ πάντα ὑπηρέτει, καὶ ὅλως ἐτυραννεῖτο ὑπ' αὐτοῦ, καὶ δορυφόρος τῶν τοῦ παιδὸς ἐπιθυμιῶν ἦν. ὁ νεανίας δὲ, τῆς μὲν τιμῆς παρεχώρει καθ' ἡλικίαν ἐκείνῳ, καὶ μόνου ἐξίστατο τοῦ τῆς ἀρχῆς ὀνόματος· τὸ δ' ἔργον τῆς τυραννίδος, καὶ τὸ κεφάλαιον αὐτῆς ἦν. καὶ τὸ μὲν πιστὸν καὶ ἀσφαλὲς ἀπ' αὐτοῦ παρεῖχε τῇ δυ-

δυναστείᾳ, τὴν δ' ἀπόλαυσιν μόνος ἐκαρποῦτο τῶν ἀδικημάτων. ἐκεῖνος ἦν ὁ τοὺς δορυφόρους συνέχων, ὁ τὴν φρουρὰν κρατύνων, ὁ τοὺς τυραννουμένους ἐκκόπτων, ὁ τοὺς ἐπιβουλεύοντας φοβῶν. ἐκεῖνος ὁ τοὺς ἐφήβους ἀναρπάζων, ὁ ἐνυβρίζων τοῖς γάμοις. ἐκείνῳ αἱ παρθένοι ἀνήγοντο. καὶ εἴ τινες σφαγαί, καὶ εἴ τινες φυγαί, καὶ χρημάτων ἀφαιρέσεις, καὶ βάσανοι, καὶ ὕβρεις, πάντα ταῦτα τολμήματα ἦν νεανικά. ὁ γέρων δ' ἐκείνῳ ἠκολούθει, καὶ συνηδίκει, καὶ ἐπῄνει μόνον τὰ τοῦ παιδὸς ἀδικήματα, καὶ τὸ πρᾶγμα ἡμῖν ἀφόρητον καθειστήκει. Ὅταν γὰρ αἱ τῆς γνώμης ἐπιθυμίαι τὴν ἐκ τῆς ἀρχῆς ἐξουσίαν προσλάβωσιν, οὐδένα ὅρον ποιοῦνται τῶν ἀδικημάτων. μάλιστα δὲ ἐκεῖνο ἐλύπει, τὸ εἰδέναι μακράν, μᾶλλον δὲ ἀΐδιον τὴν δουλείαν ἐσομένην, καὶ ἐκ διαδοχῆς παραδοθησομένην τὴν πόλιν, ἄλλοτε ἄλλῳ δεσπότῃ, καὶ πονηρῷ κληρονόμημα γενησόμενον τὸν δῆμον. Ὡς τοῖς γε ἄλλοις οὐ μικρά τις ἐλπὶς αὕτη, τὸ λογίζεσθαι, καὶ πρὸς αὐτοὺς λέγειν. ἀλλ' ἤδη παύσεται, ἀλλ' ἤδη τεθνήξεται, καὶ μετ' ὀλίγον ἐλεύθεροι γενησόμεθα. ἐπ' ἐκείνων δὲ οὐδὲν τοιοῦτον ἠλπίζετο, ἀλλ' ἑωρῶμεν ἤδη ἕτοιμον τὸν τῆς ἀρχῆς διάδοχον. Τοιγαροῦν οὐδ' ἐπιχειρεῖν τις ἐτόλμα τῶν γενναίων, καὶ τὰ αὐτὰ ἐμοὶ προαιρουμένων, ἀλλ' ἀπέγνωστο παντάπασιν ἡ ἐλευθερία, καὶ ἄμαχος ἡ τυραννὶς ἐδόκει, πρὸς τοσούτους ἐσομένης τῆς ἐπιχειρήσεως. ἀλλ' οὐκ ἐμὲ ταῦτ' ἐφόβησεν, οὐδὲ τὸ δυσχερὲς τῆς πράξεως λογισάμενος ἀπώκνησα, οὐδὲ πρὸς τὸν κίνδυνον ἀπεδειλίασα. μόνος δέ, μόνος πρὸς οὕτως ἰσχυρὰν καὶ πολλὴν τὴν τυραννίδα, μᾶλλον δὲ οὐδὲ μόνος, ἀλλὰ μετὰ τοῦ ξίφους ἀνῄειν τοῦ συμμεμαχημένου, καὶ τὸ μέρος συντετυραννοκτονηκότος, πρὸ ὀφθαλμῶν μὲν τὴν τελευτὴν ἔχων, ἀλλαξόμενος δ' ὅμως τὴν κοινὴν ἐλευθερίαν τῆς σφαγῆς τῆς ἐμῆς. Ἐντυχὼν δὲ τῇ πρώτῃ φρουρᾷ, καὶ τρεψάμενος οὐ ῥᾳδίως τοὺς δορυφόρους, καὶ τὸν ἐντυγχάνοντα κτείνων, καὶ τὸ ἀν-

θι-

θισάμενον πᾶν διαφθείρων, ἐπὶ τὸ κεφάλαιον αὐτὸ τῶν ἔργων ἵεμαι, ἐπὶ τὴν μόνην τῆς τυραννίδος ἰσχὺν, ἐπὶ τὴν ὑπόθεσιν τῶν ἡμετέρων συμφορῶν. Καὶ ἐπιστὰς τῷ τῆς ἀκροπόλεως φρουρίῳ, καὶ ἰδὼν γενναίως ἀμυνόμενον, καὶ ἀνθιστάμενον, πολλοῖς τραύμασιν, ὅμως ἀπέκτεινα. Καὶ ἡ μὲν τυραννὶς ἤδη καθῄρητο, καὶ πέρας εἶχέ μοι τὸ τόλμημα, καὶ τὸ ἀπ' ἐκείνου, πάντες μὲν ἐλεύθεροι· ἐλείπετο δ' ὁ γέρων ἔτι, μόνος, ἄνοπλος, ἀποβεβληκὼς τοὺς φύλακας, ἀπολωλεκὼς τὸν μέγαν ἐκεῖνον αὐτοῦ δορυφόρον, ἔρημος, οὐδὲ γενναίας ἔτι χειρὸς ἄξιος. Ἐνταῦθα τοίνυν πρὸς ἐμαυτὸν, ὦ ἄνδρες δικασταὶ, τοιαῦτα ἐλογισάμην· πάντ' ἔχει μοι καλῶς, πάντα πέπρακται, πάντα κατώρθωται. τίνα ἂν ὁ περίλοιπος κολασθείη τρόπον; ἐμοῦ μὲν γὰρ ἀνάξιός ἐστι, καὶ τῆς ἐμῆς δεξιᾶς, καὶ μάλιστα ἐπ' ἔργῳ λαμπρῷ καὶ νεανικῷ καὶ γενναίῳ ἀνῃρημένος, καταισχύνων κἀκείνην τὴν σφαγήν. ἄξιον δέ τινα δεῖ ζητῆσαι δήμιον, ἀλλὰ μετὰ τὴν συμφοράν; μηδὲ τὴν αὐτὴν κερδαίνειν. ἰδέτω, κολασθήτω, παρακείμενον ἐχέτω τὸ ξίφος. τούτῳ τὰ λοιπὰ ἐντέλλομαι. ταῦτα βουλευσάμενος, αὐτὸς μὲν ἐκποδὼν ἀπηλλαττόμην. ὁ δὲ, ὅπερ ἐγὼ προὐμαντευσάμην, διεπράξατο, καὶ ἐτυραννοκτόνησε, καὶ τέλος ἐπέθηκε τῷ ἐμῷ δράματι. Πάρειμι οὖν κομίζων ὑμῖν τὴν δημοκρατίαν, καὶ θαρρεῖν ἤδη προκηρύττων ἅπασι, καὶ τὴν ἐλευθερίαν εὐαγγελιζόμενος. Ἤδη οὖν ἀπολαύετε τῶν ἔργων τῶν ἐμῶν. κενὴ μὲν, ὡς ὁρᾶτε, πονηρῶν ἡ ἀκρόπολις, ἐπιτάττει δὲ οὐδείς· ἀλλὰ καὶ τιμᾶν ἔξεστι, καὶ δικάζειν, καὶ ἀντιλέγειν κατὰ τοὺς νόμους. καὶ πάντα ταῦτα γεγένηται δι' ἐμὲ ὑμῖν, καὶ διὰ τὴν τόλμαν τὴν ἐμὴν, κἀκ τοῦ ἑνὸς ἐκείνου φόνου, μεθ' ὃν οὐκ ἔτι ζῆν ὁ πατὴρ ἐδύνατο. Ἀξιῶ δ' οὖν ἐπὶ τούτοις, τὴν ὀφειλομένην δοθῆναί μοι παρ' ὑμῶν δωρεὰν, οὐ φιλοκερδὴς, οὐδὲ μικρολόγος τις ὢν, οὐδ' ἐπὶ μισθῷ τὴν πατρίδα εὐεργετεῖν προῃρημένος, ἀλλὰ βεβαιωθῆναί μοι βουλόμενος

τὰ κατορθώματα τῇ δωρεᾷ, καὶ μὴ διαβληθῆναι, μηδ' ἄδοξον γενέσθαι τὴν ἐπιχείρησιν τὴν ἐμήν, ὡς ἀτελῆ, καὶ γέρως ἀναξίαν κεκριμένην. Οὑτοσὶ δὲ ἀντιλέγει, καί φησιν, οὐκ εὔλογον ποιεῖν με, τιμᾶσθαι θέλοντα, καὶ δωρεὰν λαμβάνειν· οὐ γὰρ εἶναι τυραννοκτόνον, οὐδὲ πεπρᾶχθαί μοί τι κατὰ τὸν νόμον, ἀλλ' ἐνδεῖν τι τῷ ἔργῳ τῷ ἐμῷ, πρὸς ἀπαίτησιν τῆς δωρεᾶς. Πυνθάνομαι τοίνυν αὐτοῦ, τί λοιπὸν ἀπαιτεῖς παρ' ἐμοῦ; οὐκ ἐβουλήθην; οὐκ ἀνῆλθον; οὐκ ἐφόνευσα; οὐκ ἠλευθέρωσα; μή τις ἐπιτάττει; μή τις κελεύει; μή τις ἀπειλεῖ δεσπότης; μή τίς με τῶν κακούργων διέφυγεν; οὐκ ἂν εἴποις· ἀλλὰ πάντα εἰρήνης μεστά, καὶ πάντες οἱ νόμοι, καὶ ἐλευθερία σαφής, καὶ δημοκρατία βέβαιος, καὶ γάμοι ἀνύβριστοι, καὶ παῖδες ἀδεεῖς, καὶ παρθένοι ἀσφαλεῖς, καὶ ἑορτάζουσα τὴν κοινὴν εὐτυχίαν ἡ πόλις. Τίς οὖν ὁ τούτων ἁπάντων αἴτιος; τίς ὁ ἐκεῖνα μὲν παύσας, τὰ δὲ παρεσχημένος; εἰ γάρ τίς ἐστι τῶν πρὸ ἐμοῦ τιμᾶσθαι δίκαιος, παραχωρῶ τοῦ γέρως, ἐξίσταμαι τῆς δωρεᾶς. εἰ δὲ μόνος ἐγὼ πάντα διαπραξάμενος, τολμῶν, κινδυνεύων, ἀνιών, ἀναιρῶν, κολάζων, δι' ἀλλήλων τιμωρούμενος, τί μου διαβάλλεις τὰ κατορθώματα; τί δὲ ἀχάριστον πρός με τὸν δῆμον ποιεῖς εἶναι; Οὐ γὰρ αὐτὸν ἐφόνευσας τὸν τύραννον, ὁ δὲ νόμος τυραννοκτόνῳ δίδωσι τὴν δωρεάν. Διαφέρει δέ, εἰπέ μοι, τί, ἢ αὐτὸν ἀνελεῖν, ἢ τοῦ θανάτου παρασχεῖν τὴν αἰτίαν; ἐγὼ μὲν γὰρ οὐδὲν οἶμαι. ἀλλὰ τοῦτο μόνον ὁ νομοθέτης εἶδε, τὴν ἐλευθερίαν, τὴν δημοκρατίαν, τὴν τῶν δεινῶν ἀπαλλαγήν· τοῦτ' ἐτίμησε, τοῦτ' ἄξιον ἀμοιβῆς ὑπέλαβεν, ὅπερ οὐκ ἂν εἴποις μὴ δι' ἐμὲ γεγενῆσθαι. εἰ γὰρ ἐφόνευσα, δι' ὃν ἐκεῖνος ζῆν οὐκ ἐδύνατο, αὐτὸς εἴργασμαι τὴν σφαγήν· ἐμὸς ὁ φόνος, ἡ χεὶρ ἐκείνου. Μὴ τοίνυν ἀκριβολογοῦ ἔτι περὶ τοῦ τρόπου τῆς τελευτῆς, μηδ' ἐξέταζε ὅπως ἀπέθανεν, ἀλλ' εἰ μηκέτ' ἔστιν, εἰ δι' ἐμὲ τὸ μηκέτ' εἶναι ἔχει. ἐπεὶ κἀκεῖνο προσεξετάσειν

μοι

μοι δοκεῖς, καὶ συκοφαντήσειν τοὺς εὐεργέτας, εἴ τις μὴ ξίφει, ἀλλὰ λίθῳ, ἢ ξύλῳ, ἢ ἄλλῳ τῷ τρόπῳ ἀπέκτεινε. Τί δ', εἰ λιμῷ ἐξεπολιόρκησα τὸν τύραννον, τὴν ἀνάγκην τῆς πλησμονῆς παρέχων, ἀπῄτεις ἂν καὶ τότε παρ' ἐμοῦ αὐτόχειρα τὴν σφαγήν; ἢ ἐνδεῖν ἔλεγές μοι τι πρὸς τὸν νόμον, καὶ ταῦτα χαλεπώτερον τοῦ κακούργου πεφονευμένου; ἓν μόνον ἐξέταζε, τοῦτο ἀπαίτει, τοῦτο πολυπραγμόνει· τίς τῶν πονηρῶν λείπεται; ἢ τίς ἐλπὶς τοῦ φόβου; ἢ τί ὑπόμνημα τῶν συμφορῶν; εἰ δὲ καθαρὰ πάντα, καὶ εἰρηνικά, συκοφαντοῦντός ἐστι, τῷ τρόπῳ τῶν πεπραγμένων χρωμένου, ἀποστερεῖν ἐθέλειν τὴν ἐπὶ τοῖς πεπονημένοις δωρεάν. Ἐγὼ δὲ καὶ τοῦτο μέμνημαι διηγορευμένον ἐν τοῖς νόμοις, ἐκτὸς εἰ μὴ διὰ τὴν πολλὴν δουλείαν ἐπιλέλησμαι τῶν ἐν αὐτοῖς εἰρημένων, αἰτίας θανάτου εἶναι διττάς, εἴ τις αὐτὸς ἀπέκτεινεν, ἢ εἴ τις μὴ αὐτὸς ἀπέκτεινε, μηδὲ τῇ χειρὶ ἔδρασε τὸ ἔργον, ἠνάγκασε δέ, καὶ παρέσχεν ἀφορμὴν τοῦ φόνου, τὰ ἴσα καὶ τοῦτον ἀξιοῖ ὁ νόμος αὐτὸν ἀντικολάζεσθαι μάλα δικαίως. οὐ γὰρ ἐβούλετο τοῦ πεπραγμένου ἧττον γίγνεσθαι τὸ τῆς ἀδείας, καὶ περιττὴ λοιπὸν ἡ ἐξέτασις τοῦ τρόπου τῆς σφαγῆς. Εἶτα τὸν μὲν οὕτως ἀποκτείνοντα κολάζειν ὡς ἀνδροφόνον δικαιοῖς, καὶ οὐδαμῶς ἀφεῖσθαι θέλεις, τὸν δὲ κατὰ τοῦτον τὸν τρόπον εὖ πεποιηκότα τὴν πόλιν, οὐ τῶν ὁμοίων ἀξιώσεις τοῖς εὐεργέταις; Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις λέγειν, ὡς ἐγὼ μὲν ἁπλῶς αὐτὸ ἔπραξα, ἠκολούθησε δέ τι τέλος ἄλλως χρηστόν, ἐμοῦ μὴ θελήσαντος. τί γὰρ ἔτι ἐδεδίειν, τοῦ ἰσχυροτέρου πεφονευμένου; τί δὲ κατέλιπον τὸ ξίφος ἐν τῇ σφαγῇ, εἰ μὴ πάντως τὸ ἐσόμενον αὐτὸ προμαντευσάμενος; Ἐκτὸς εἰ μὴ τοῦτο φής, ὡς οὐ τύραννος ὁ τεθνεὼς ἦν, οὐδὲ ταύτην εἶχε τὴν προσηγορίαν, οὐδὲ δωρεὰς ἐπ' αὐτῷ πολλάς, εἰ ἀποθάνοι, ἡδέως ἂν ὑμεῖς ἐδώκατε. ἀλλ' οὐκ ἂν εἴποις. εἶτα τοῦ τυράννου πεφονευμένου, τῷ τὴν αἰτίαν παρασχόντι τῆς σφαγῆς οὐκ ἀποδώσεις τὴν δωρεάν;

ρίαν; ὢ τῆς πολυπραγμοσύνης. μέλει δέ σοι πῶς ἀπέθανεν, ἀπολαύοντι τῆς ἐλευθερίας; ἢ τὸν τὴν δημοκρατίαν ἀποδεδωκότα, περιττότερόν τι προσαπαιτεῖς; Καίτοι ὅ γε νόμος, ὡς φὴς, τὸ κεφάλαιον ἐξετάζει τῶν πεπραγμένων, τὰ διὰ μέσου δὲ πάντα ἐᾷ, καὶ οὐκ ἔτι πολυπραγμονεῖ. τί γάρ; οὐχὶ ἐξελάσας τις τύραννον, ἤδη τιμὴν ἔλαβε τυραννοκτόνου; καὶ μάλα δικαίως· ἐλευθερίαν γὰρ κἀκεῖνος ἀντὶ δουλείας παρέσχηται. τὸ δὲ ὑπ᾽ ἐμοῦ γεγενημένον, οὐ φυγὴ, οὐδὲ δευτέρας ἐπαναστάσεως ἐλπὶς, ἀλλὰ παντελὴς καθαίρεσις, καὶ πανωλεθρία παντὸς τοῦ γένους, καὶ ῥιζόθεν τὸ δεινὸν ἅπαν ἐκκεκομμένον. Καί μοι, πρὸς Θεῶν, ἤδη ἀπ᾽ ἀρχῆς ἐς τέλος, εἰ δοκεῖ, πάντα ἐξετάσατε, εἴ τι τῶν πρὸς τὸν νόμον παραλέλειπται, καὶ εἰ ἐνδεῖ τῶν προσεῖναι ὀφειλόντων τυραννοκτόνῳ. πρῶτα μὲν δὴ γνώμην προϋπάρχειν χρὴ γενναίαν καὶ φιλόπολιν, καὶ πρὸ τῶν κοινῶν κινδυνεύειν ἐθέλουσαν, καὶ τῷ οἰκείῳ θανάτῳ τὴν τῶν πολλῶν σωτηρίαν ὠνησομένην. ἆρ᾽ οὖν πρὸς τοῦτο ἐνεδέησα, ἐμαλακίσθην, ἢ προειδόμενός τινα τῶν διὰ μέσου κινδύνων ἀπώκνησα; οὐκ ἂν εἴποις. Μένε τοίνυν ἐπὶ τούτου ἔτι μόνου, καὶ νόμιζε τοῦ θελῆσαι μόνον, καὶ τοῦ βουλεύσασθαι ταῦτα, εἰ καὶ μὴ χρηστὸν ἀποβεβήκει, ἐκ τῆς γνώμης αὐτῆς καταστάντα με, γέρας ἀξιοῦν, ὡς εὐεργέτην λαμβάνειν, ἐμοῦ μὲν οὐ δυνηθέντος, ἄλλου δὲ μετ᾽ ἐμὲ τυραννοκτονηκότος, ἄλογον, εἰπέ μοι, ἢ ἄγνωμον ἦν παρασχεῖν; καὶ μάλιστα, εἰ ἔλεγον, ἄνδρες, ἐβουλόμην, ἠθέλησα, ἐπεχείρησα, ἐπειράθην τῆς γνώμης, μόνος ἄξιός εἰμι τιμᾶσθαι, τί ἂν ἀπεκρίνω τότε; νῦν δὲ οὐ τοῦτό φημι, ἀλλὰ καὶ ἀνῆλθον, καὶ ἐκινδύνευσα, καὶ μυρία πρὸ τῆς τοῦ νεανίσκου σφαγῆς ἔπραξα. Μὴ γὰρ οὕτω ῥᾷστον, μηδ᾽ εὐχερὲς ὑπολάβητε εἶναι τὸ πρᾶγμα, φρουρὰν ὑπερβῆναι, καὶ δορυφόρων κρατῆσαι, καὶ τρέψασθαι τοσούτους μόνον, ἀλλὰ σχεδὸν τὸ μέγιστον ἐν τῇ τυραννοκτονίᾳ, καὶ τὸ κεφάλαιον τῶν ἔργων, τοῦτό ἐστιν.

οὐ γὰρ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2005

οὐ γὰρ δὴ αὐτός γε ὁ τύραννος, μέγα, καὶ δυσάλωτον καὶ δυσκατέργαστόν ἐστιν, ἀλλὰ τὰ φρουροῦντα καὶ συνέχοντα τὴν τυραννίδα, ἅ τις ἂν νικήσῃ, πάντα οὗτος κατώρθωσε, καὶ τὸ λοιπὸν ὀλίγον. τὸ δὲ δὴ ἄχρι τῶν τυράννων προσελθεῖν, οὐκ ἂν ὑπῆρξέ μοι, μὴ οὐχὶ τῶν περὶ αὐτοὺς φυλάκων ἁπάντων κεκρατηκότι, κἀκείνους ἅπαντας προνενικηκότι. Οὐδὲν ἔτι προστίθημι, ἀλλ' ἐπὶ τούτων αὖθις μένω. φυλακῆς ἐκράτησα, δορυφόρους ἐνίκησα, τὸν τύραννον ἀφύλακτον, ἄοπλον, γυμνὸν ἀπέδωκα. τιμῆς ἄξιος ἐπὶ τούτοις εἶναί σοι δοκῶ, ἢ ἔτι ἀπαιτεῖς παρ' ἐμοῦ τὸν φόνον; ἀλλ' εἰ καὶ φόνον ζητεῖς, οὐδὲ τοῦτο ἐνδεῖ, οὐδ' ἀναίμακτός εἰμι, ἀλλ' εἴργασμαι μεγάλην καὶ γενναίαν σφαγὴν νεανίσκου ἀκμάζοντος, καὶ πᾶσι φοβεροῦ, δι' ὃν ἀνεπιβούλευτος κἀκεῖνος ἦν, ᾧ μόνῳ ἐθάρρει, ὃς ἀντὶ πολλῶν ἤρκει δορυφόρων. Ἆρ' οὖν οὐκ ἄξιος, ὦ οὗτος, δωρεᾶς, ἀλλ' ἄτιμος ἐπὶ τηλικούτοις γένωμαι; τί γάρ, εἰ δορυφόρον ἕνα; τί δ', εἰ ὑπηρέτην τινὰ τοῦ τυράννου ἀπέκτεινα; τί δ' εἰ οἰκέτην τίμιον; οὐ μέγα ἂν ἔδοξε καὶ τοῦτο, ἀνελθόντα ἐν μέσῃ τῇ ἀκροπόλει, ἐν μέσοις τοῖς ὅπλοις, φόνον τινὸς ἐργάσασθαι τῶν τοῦ τυράννου φίλων; νυνὶ δὲ καὶ τὸν πεφονευμένον αὐτὸν ἴδε· υἱὸς ἦν τυράννου, μᾶλλον δὲ τύραννος χαλεπώτερος, καὶ δεσπότης ἀπαραίτητος, καὶ κολαστὴς ὠμότερος, καὶ ὑβριστὴς βιαιότερος· τὸ δὲ μέγιστον, κληρονόμος τῶν ὅλων, καὶ διάδοχος, καὶ ἐπὶ πολὺ παρατείνειν τὰς ἡμετέρας συμφορὰς δυνάμενος. Βούλει τοῦτο μόνον πεπρᾶχθαί μοι, ζῆν δ' ἔτι τὸν τύραννον διαπεφευγότα; γέρας δὴ ἐπὶ τούτοις αἰτῶ. τί φατε; οὐ δώσετε; οὐχὶ κἀκεῖνον ὑφεωρᾶσθε; οὐ δεσπότης, οὐ βαρύς, οὐκ ἀφόρητος ἦν; νυνὶ δὲ καὶ τὸ κεφάλαιον αὐτὸ ἐννοήσατε· ὃ γὰρ οὗτος ἀπαιτεῖ παρ' ἐμοῦ, τοῦτο, ὡς ἐνῆν, ἄριστα διεπραξάμην, καὶ τὸν τύραννον ἀπέκτεινα ἑτέρῳ φόνῳ, οὐχ ἁπλῶς, οὐδὲ πληγῇ μιᾷ, ὅπερ εὐκταιότατον ἦν αὐτῷ ἐπὶ τηλικούτοις ἀδικήμασιν, ἀλλὰ λύπῃ προβασανίσας

πολλῇ, καὶ ἐν ὀφθαλμοῖς δείξας τὰ φίλτατα οἰκτρῶς προκείμενα, ἤδη ἐν ἡλικίᾳ, εἰ καὶ πονηρὸν, ἀλλ' οὖν καὶ ἀκμάζοντα, καὶ ὅμοιον τῷ πατρὶ, αἵματος καὶ λύθρου ἐμπεπλησμένον. Ταῦτ' ἐστι πατέρων τὰ τραύματα, ταῦτα ξίφη δίκαια Τυραννοκτόνων, οὗτος θάνατος ἄξιος ὠμῶν τυράννων, αὕτη τιμωρία πρέπουσα τοσούτοις ἀδικήμασι. τὸ δ' εὐθὺς ἀποθανεῖν, τὸ δ' εὐθὺς ἀγνοῆσαι, τὸ δὲ μηδὲν τοιοῦτο θέαμα ἰδεῖν, οὐδὲν ἔχει τυραννικῆς κολάσεως ἄξιον. Οὐ γὰρ ἠγνόουν, ὦ οὗτος, οὐκ ἠγνόουν, οὐδὲ τῶν ἄλλων οὐδεὶς, ὅσην ἐκεῖνος εὔνοιαν πρὸς τὸν υἱὸν εἶχε, καὶ ὡς οὐκ ἂν ἠξίωσεν ἐπιβιῶναι οὐδ' ὀλίγον αὐτῷ χρόνον. πάντες μὲν γὰρ πατέρες ἴσως πρὸς τοὺς παῖδας τοιοῦτοι. ὁ δὲ καὶ περιττότερόν τι τῶν ἄλλων εἶχεν· εἰκότως, ὁρῶν μόνον ἐκεῖνον κηδεμόνα, καὶ φύλακα τῆς τυραννίδος, καὶ μόνον προκινδυνεύοντα τοῦ πατρὸς, καὶ τὴν ἀσφάλειαν τῇ ἀρχῇ παρεχόμενον. ὥστε εἰ καὶ μὴ διὰ τὴν εὔνοιαν, ἀλλὰ διὰ τὴν ἀπόγνωσιν, εὐθὺς ἠπιστάμην τεθνηξόμενον αὐτὸν, καὶ λογιούμενον, ὡς οὐδέν ἐστι τοῦ ζῆν ὄφελος τῆς ἐκ τοῦ παιδὸς ἀσφαλείας καθῃρημένης. ἅπαντα τοίνυν αὐτῷ ἀθρόα περιέστησα, τὴν φύσιν, τὴν λύπην, τὴν ἀπόγνωσιν, τὸν φόβον, τὰς ἐπὶ τῶν μελλόντων ἐλπίδας χρόνων, ἐπ' αὐτὸν ἐχρησάμην τοῖς συμμάχοις. καὶ πρὸς τὴν τελευταίαν ἐκείνην σκέψιν κατηνάγκασα· ἀπέθανεν ὑμῖν ἄτεκνος, λελυπημένος, ὀδυρόμενος, δακρύων, πεπονθὼς πένθος, ὀλιγοχρόνιον μὲν, ἀλλ' ἱκανὸν πατρί. καὶ τὸ δεινότατον, αὐτὸς ὑφ' αὑτοῦ, ὅσπερ θανάτων οἴκτιστος, καὶ πολλῷ χαλεπώτερος, ἢ εἰ ὑπ' ἄλλου γίγνοιτο. Ποῦ μοι τὸ ξίφος; μή τις ἄλλος τοῦτο γνωρίζει; μή τινος ἄλλου ὅπλον τοῦτο ἦν; τίς αὐτὸ ἐς τὴν ἀκρόπολιν ἀνεκόμισε; πρὸ τοῦ τυράννου τίς ἐχρήσατο; τίς αὐτὸ ἐπ' ἐκεῖνον ἀπέστειλεν; ὦ ξίφος κοινωνὸν, καὶ διάδοχον τῶν ἐμῶν κατορθωμάτων. μετὰ τοσούτους κινδύνους, μετὰ τοσούτους φόνους ἀμελούμεθα, καὶ ἀνάξιοι δοκοῦμεν δωρεᾶς. Εἰ δὲ ὑπὲρ

μό-

ΙΩΑΝΝΙΝΑ 2006

μόνου τούτου τὴν τιμὴν ᾔτουν παρ' ὑμῶν. εἰ γὰρ ἔλεγον, ἄνδρες, ἀποθανεῖν ἐθελήσαντι τῷ τυράννῳ, καὶ ἀνόπλῳ ἐπὶ τοῦ καιροῦ κατειλημμένῳ, ξίφος τοῦτο ἐμὸν ὑπηρέτησε, καὶ πρὸς τὸ τέλος τῆς ἐλευθερίας συνήργησε πάντη, τοῦτο τιμῆς τε καὶ δωρεᾶς ἄξιον νομίσατε· δεσπότην οὕτω δημοτικοῦ κτήματος, οὐκ ἂν ἠμείψασθε; οὐκ ἂν ἐν τοῖς εὐεργέταις ἀνεγράψατε; οὐκ ἂν τὸ ξίφος ἐν τοῖς ἱεροῖς ἀνεθήκατε; οὐκ ἂν μετὰ τῶν θεῶν ἐκεῖνο προσεκυνήσατε; νῦν μοι ἐννοήσατε, οἷα πεποιηκέναι εἰκὸς τὸν τύραννον, οἷα δὲ εἰρηκέναι πρὸ τῆς τελευτῆς. ἐπεὶ γὰρ ὑπ' ἐμοῦ φονευόμενος, καὶ τιτρωσκόμενος πολλοῖς τραύμασιν ἐς τὰ φανερὰ τοῦ σώματος, ὡς ἂν μάλιστα λυπήσειν ἔμελλον τὸν γεγεννηκότα, ὡς ἂν ἐκ τῆς πρώτης θέας διαταράξειν, ὁ μὲν, ἀνεβόησεν οἰκτρὸν, ἐπιβοώμενος τὸν γεγεννηκότα, οὐ βοηθὸν, οὐδὲ σύμμαχον, ᾔδει γὰρ πρεσβύτην ὄντα, καὶ ἀσθενῆ, ἀλλὰ θεατὴν τῶν οἰκείων κακῶν. ἐγὼ δὲ ἀπηλλαττόμην, ποιητὴς μὲν τῆς ὅλης τραγῳδίας γεγενημένος, καταλιπὼν δὲ τῷ ὑποκριτῇ τὸν νεκρὸν, καὶ τὴν σκηνὴν, καὶ τὸ ξίφος, καὶ τὰ λοιπὰ τοῦ δράματος. ἐπιστὰς δ' ἐκεῖνος, καὶ ἰδὼν υἱὸν, ὃν εἶχε μόνον, ὀλίγον ἐμπνέοντα, ᾑμαγμένον, ἐμπεπλησμένον τοῦ φόνου, καὶ τὰ τραύματα συνεχῆ, καὶ πολλὰ, καὶ καίρια, ἀνεβόησε τοῦτο· τέκνον, ἀνῃρήμεθα, πεφονεύμεθα, τετυραννοκτονήμεθα. ποῦ ὁ σφαγεύς; τίνι με τηρεῖ; τίνι με φυλάττει; διὰ σοῦ τέκνον προανῃρημένον, ἢ μή τι ὡς γέροντος ὑπερφρονεῖ; καὶ τῇ βραδυτῆτι κολάζειν δέον, παρατείνει μοι τὸν φόνον, καὶ μακροτέραν μοι τὴν σφαγὴν ποιεῖ. καὶ ταῦτα λέγων, ἐζήτει τὸ ξίφος· αὐτὸς γὰρ ἄνοπλος ἦν, διὰ τὸ πάντα τῷ παιδὶ θαρρεῖν. ἀλλ' οὐδὲ τούτου ἐνεδέησε, πάλαι δ' ἦν ὑπ' ἐμοῦ καὶ τοῦτο προπαρεσκευασμένον, καὶ πρὸς τὸ μέλλον τόλμημα καταλελειμμένον. ἀποσπάσας δὴ τῆς σφαγῆς, καὶ τοῦ τραύματος ἐξελὼν τὸ ξίφος, φησὶ πρὸ μικροῦ μέν με ἀπέκτεινας. νῦν δ' ἀνάπαυσον ξίφος. πα-

πατρὶ πενθοῦντι παραμύθιον ἐλθεῖν, καὶ πρεσβυτικῇ χειρὶ δυστυχούσῃ συναγωνίσασθαι. ἀπόσφαξον, τυραννοκτόνησον, καὶ τοῦ πενθεῖν ἀπάλλαξον· ἦλθε πρῶτός σοι ἐνέτυχον. ἦλθε τὴν τάξιν προέλαβον τοῦ φόνου. ἀπέθανον οὖν, ἀλλ' οὐχ ὡς τύραννος μόνον, ἀλλ' ἔτι νομίζων ἕξειν ἔκδικον· νῦν δ' ὡς ἄτεκνος, νῦν δ' ὡς οὐδὲ φονέως εὐπορῶν. καὶ ταῦθ' ἅμα λέγων, ἐπῆγε τὴν σφαγὴν, τρέμων, οὐ δυνάμενος, ἐπιθυμῶν μὲν, ἀσθενῶν δὲ πρὸς τὴν ὑπηρεσίαν τοῦ τολμήματος. πόσαι κολάσεις ταῦτα; πόσα τραύματα; πόσοι θάνατοι; πόσαι τυραννοκτονίαι; πόσαι δωρεαί; καὶ τέλος, ἑωράκατε πάντες τὸν μὲν νεανίαν προκείμενον, οὐδὲ μικρὸν, οὐδ' εὐκαταγώνιστον ἔργον. τὸν πρεσβύτην δὲ, αὐτῷ περικεχυμένον, καὶ τὸ αἷμα ἀμφοῖν ἀνακεκραμένον, τὴν ἐλευθέριον ἐκείνην, καὶ ἐπινίκιον σπονδὴν, καὶ τὰ ἔργα τοῦ ξίφους τοῦ ἐμοῦ. αὐτὸ δὲ τὸ ξίφος ἐν μέσῳ ἀμφοτέρων ἐπιδεικνύμενον, ὡς οὐκ ἀνάξιον γεγένηται τῷ δεσπότῃ, καὶ μαρτυρόμενον ὅτι μοι πιστῶς διηκονήσατο. τοῦτο ὑπ' ἐμοῦ γενόμενον, μικρότερον ἦν· νῦν δὲ λαμπρότερόν ἐστι τῇ καινότητι. καὶ ὁ μὲν καθελὼν τὴν τυραννίδα πᾶσαν, εἰμὶ ἐγώ. μεμέρισται δ' ἐς πολλοὺς τὸ ἔργον, ὥσπερ ἐν δράματι. καὶ τὰ μὲν πρῶτα, ἐγὼ ὑπεκρινάμην. τὰ δεύτερα δὲ, ὁ παῖς. τὰ τρίτα δὲ, ὁ τύραννος αὐτός. τὸ ξίφος δὲ, πᾶσιν ὑπηρέτησεν.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ΤΟΥ